τερος, καὶ ἀγένειος καὶ ἀνήρ. τῷ δὲ νικῶντι δίδοται ἆθλον ἔλαιον ἀμφιφορεῦσι, καὶ ὁ νικῶν στεφανοῦται ἐλαίᾳ πλεκτῇ.

Harp. 152 Παναθήναια: διττὰ Παναθήναια ἤγετο Ἀθήνησι, τὰ μὲν καθ' ἕκαστον ἐνιαυτόν, τὰ δὲ διὰ πενταετηρίδος, ἃ καὶ μεγάλα ἐκάλουν. ἤγαγε δὲ τὴν ἑορτὴν πρῶτος Ἐριχθόνιος ὁ Ἡφαίστου. τὰ δὲ Παναθήναια πρότερον Ἀθήναια ἐκαλοῦντο.

ΣΔ 153 Πανάκεια: θεραπεία. καὶ ὄνομα θεᾶς.

Harp. 154 Πάνακτος: πόλις μεταξὺ τῆς Ἀττικῆς καὶ τῆς Βοιωτίας. Θουκυδίδης δὲ καὶ οὐδετέρως καλεῖ τὸ χωρίον, Μένανδρος δὲ ἀρρενικῶς.

Σ 155 Παναλκές: ἰσχυρότατον.

Σ 156 Πανάνυτον: πάντα δυνατόν.

Anth. 157 Παναώριος· ἐν Ἐπιγράμμασι· καὶ γάρ που λαγόνεσσι ῥυτὶς παναώριος ἤδη. πρὸ τῆς ὥρας.

Σ 158 Πανάπυστος: ἀνήκοος.

Δ 159 Παναριστίδης: ὄνομα κύριον.

Δ 160 Πανάρεια.

Call. 161 Παναρκέος: τοῦ μεγάλου καὶ δυνατοῦ. ἠλίου δὲ παναρκέος. τοῦ πανταχῇ λάμποντος.

Σ 162 Παναρμόνιον: πάντοθεν ἡρμοσμένον.

Σ? 163 Παναρμόνιον: ἐξ ὅλου τεταγμένον· ἁρμονία γὰρ ἡ εὔτακτος ἀκολουθία.

Σ 164 Παναυγές: πάνυ λαμπρόν.

Σ 165 Πανδαμάτωρ: πάντας ὑποτάσσων.

Δ 166 Πανδαισία. ὡς καλὸν ὦ Πόσειδον, τὸ στῖφος αὐτῶν καὶ
Ar. πυκνὸν καὶ γοργὸν, ὥσπερ μᾶζα καὶ πανδαισία.

Ar. 167 Πανδαισία: ἡ δαψιλὴς καὶ κραταιὰ εὐωχία. μᾶζα δέ ἐστιν ὁ στριφνὸς ἄρτος. ἢ Πανδαισία ἐστίν, ὅταν δεῖπνον ἕκαστος αὑτῷ κομί-
Harp. ζων κατατιθῆται, καὶ πάντες πάντων μετέχωσιν. ἢ Πανδαισία, ἡ πάντα ἔχουσα ἄφθονα καὶ μηδὲν ἐλλείπουσα ἐν τῇ δαιτί.

Σ 168 Πανδαισίας: πολυτελοῦς τραπέζης, εὐωχίας.

Σ 169 Πανδαίσιον: πολυτελὴς τράπεζα.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id413863263/24 UNIVERSITÄT LEIPZIG